“Da una cipolla non può nascere una rosa”.

Élites e popolo nella lirica arcaica: la fase del conflitto

Teognide di Megara

563 483 a.C.

Pindaro di Tebe

518-438 a. C.



DE VIAND VAN DE STAAT
DE RAAD PENSIONARIS

Giuseppe Parini

Dialogo sopra la nobiltà

OMBand D.E.






PIETRANGELO BUTTAFUOCO
LE UOVA DEL DRAGO
NUMBER ONE
«Un capolavoro
che scatenerà innamoramenti
destinati a durare nel tempo.»
GIULIANO FERRARA
BEST SELLERS
OSCAR MONDADORI

87

5 differenze

Discendenza da ἀγαθοί

Κριοὺς μὲν καὶ ὄνους διζήμεθα, Κύρνε, καὶ ἵππους
εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
ἐσθλὸς ἀνήρ, ἢν οἱ χρήματα πολλὰ διδῶι,
οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
πλουσίου, ἀλλ' ἀφνεὸν βούλεται ἀντ' ἀγαθοῦ.
χρήματα μὲν τιμῶσι· καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημε
καὶ κακὸς ἐξ ἀγαθοῦ· πλοῦτος ἔμειξε γένος.
οὕτω μὴ θαύμαζε γένος, Πολυπαΐδη, ἀστῶν
μαυροῦσθαι· **σὺν γὰρ μίσγεται ἐσθλὰ κακοῖς.**

vv. 183-196

Οὔποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν,
ἀλλ' αἰεὶ σκολιὴ καὐχένα λοξὸν ἔχει.
οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται οὔθ' ὑάκινθος,
οὐδέ ποτ' ἐκ δούλης τέκνον ἐλευθέριον.

Τοὺς ἀγαθοὺς ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ,
τῶν δὲ κακῶν μνήμη γίνεται οὐδεμία.

vv. 535-538, 797-798

Solo il nobile sa governare

οὐδεμίαν πω, Κύρν', ἀγαθοὶ πόλιν **ὤλεσαν** ἄνδρες,
ἀλλ' ὅταν **ὑβρίζειν** τοῖσι κακοῖσιν ἄδηι
δῆμόν τε φθείρουσι δίκας τ' ἀδίκοισι διδοῦσιν
οἰκείων **κερδέων** εἵνεκα καὶ κράτεος·

vv. 43-46

Solo il nobile comprende cosa sia la legge (e la religione)

Εἰκὸς τὸν κακὸν ἄνδρα κακῶς τὰ δίκαια νομίζειν,
μηδεμίαν κατόπισθ' ἀζόμενον νέμεσιν·

vv. 279-280

Le ricchezze spettano solo al nobile

Οὔ σε μάτην, ὦ Πλοῦτε, βροτοὶ τιμῶσι μάλιστα·
ἦ γὰρ ῥηϊδίως τὴν κακότητα φέρεις.
καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔοικεν,
ἡ πενίη δὲ κακῶι σύμφορος ἀνδρὶ φέρειν.

vv. 523-528


Max Weber
L'ETICA PROTESTANTE
E LO SPIRITO
DEL CAPITALISMO
introduzione di Giorgio Galli
traduzione di Anna Maria Marietti
BUR
classici moderni

Marcel Mauss
Saggio sul dono
Forma e motivo dello scambio
nelle società arcaiche
Introduzione di Marco Aime
Piccola Biblioteca Einaudi

La educazione spetta solo al nobile

Qualità

L’ἀγαθός non è maldicente:

Οὐ χαλεπὸν **ψέξαι** τὸν πλησίον, οὐδὲ μὲν αὐτόν
αἰνῆσαι· δειλοῖσ' ἀνδράσι ταῦτα μέλει.
σιγᾶν δ' οὐκ ἐθέλουσι κακοὶ κακὰ λεσχάζοντες,
οἱ δ' ἀγαθοὶ **πάντων μέτρον** ἴσασιν ἔχειν.

vv. 611- 614

Il figlio di Enipò:

ψογερός



L’ἀγαθός è leale:

γνώσηι γὰρ **ὀιζυρῶν** φρένας ἀνδρῶν,
ὥς σφιν ἐπ' ἔργοισιν **πίστις** ἔπ' οὐδεμία,
ἀλλὰ **δόλους ἀπάτας τε πολυπλοκίας τ' ἐφίλησαν**
οὕτως ὡς ἄνδρες **μηκέτι σωιζόμενοι**.

vv. 69-72

ἀδύνατα δ' ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς

δόλιον ἀστόν· ὅμως μὰν **σαίνων** ποτὶ πάντας ἄταν πάγχυ **διαπλέκει**.

Pindaro, *Pitica* 2, 81-82

L’ἀγαθός è riconoscente:

Δειλοὺς εὖ ἔρδοντι **ματαιοτάτη χάρις** ἐστίν·
ἶσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς.
οὔτε γὰρ ἂν πόντον σπείρων βαθὺ λήιον ἀμῶις,
οὔτε κακοὺς εὖ δρῶν εὖ πάλιν ἀντιλάβοις·
ἄπληστον γὰρ ἔχουσι κακοὶ **νόον**· ἢν δ' **ἐν ἁμάρτηις**,
τῶν πρόσθεν πάντων **ἐκκέχυται φιλότης**·
οἱ δ' ἀγαθοὶ τὸ μέγιστον **ἐπαυρίσκουσι** παθόντες,
μνῆμα δ' ἔχουσ' ἀγαθῶν καὶ **χάριν** ἐξοπίσω.

vv. 105-112

INVIDIA


das
Licht
leuchtet
in der
Finsternis
und die
Finsternis
hat es nicht
erfasst
MEISTER
ECKHART
1260-1327

L’ἀγαθός odia la ὕβρις ed ama la δίκη:

Κύρνε, πόλις μὲν ἔθ' ἥδε πόλις, λαοὶ δὲ δὴ ἄλλοι,
οἳ πρόσθ' **οὔτε δίκας ἤιδεσαν οὔτε νόμους**,
ἀλλ' ἀμφὶ πλευραῖσι δορὰς αἰγῶν κατέτριβον,
ἔξω δ' ὥστ' ἔλαφοι τῆσδ' ἐνέμοντο πόλεος.
καὶ νῦν εἰσ' ἀγαθοί, Πολυπαΐδη· οἱ δὲ πρὶν ἐσθλοί
νῦν δειλοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν;
ἀλλήλους δ' ἀπατῶσιν ἐπ' ἀλλήλοισι γελῶντες,
οὔτε κακῶν γνώμας εἰδότες οὔτ' ἀγαθῶν.

vv. 43-46, 54-58

L’ἀγαθός è forte nella sventura:

Τόλμα, θυμέ, κακοῖσιν ὅμως **ἄτλητα πεπονθώς**·
δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη.
μὴ δὲ σύ τ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
†εχθει μηδ' εχθει , **μηδὲ φίλους ἀνία,**
μηδ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι,
οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
οὔθ' ὅταν αὐτὸν ἔχηι Τάρταρος ἠερόεις.

vv. 1029-1036

L’ἀγαθός ha il senso della misura:

Οὐδένα παμπήδην ἀγαθὸν καὶ μέτριον ἄνδρα
τῶν νῦν ἀνθρώπων ἠέλιος καθορᾶι.

vv. 611-614

χρὴ δὲ κατ' αὐτὸν αἰεὶ παντὸς ὁρᾶν μέτρον.

Pindaro, *Pitica* 2, 34

Οἶνόν τοι πίνειν πουλὺν κακόν· ἢν δέ τις αὐτόν
πίνηι **ἐπισταμένως**, οὐ κακός, ἀλλ' ἀγαθός.

vv. 211-212

ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς

ἀθάνατοι. τὰ μὲν ὦν οὐ δύνανται νήπιοι **κόσμῳ** φέρειν,

ἀλλ' ἀγαθοί, τὰ καλὰ τρέψαντες ἔξω.

Pindaro, *Pitica* 3, 81-83

L’ἀγαθός appartiene alla classe aristocratica per γένος e πλοῦτος e ne ha perfettamente assimilato la γνώμη .

Il κακός è colui che non è stato capace di sollevarsi alla perfezione etica additata dalla παιδεία aristocratica.

L’etica è il privilegio della classe dominante.

gentilezza/cortesia

Nell’Iliade ἀγαθός significa FORTE, CAPACE: significato a-morale o pre-morale.

In Teognide ἀγαθός è chi subordina i propri impulsi ad una severa DISCIPLINA DI CLASSE.

Φῦσαι καὶ θρέψαι ῥᾴιον βροτὸν ἢ φρένας ἐσθλάς
ἐνθέμεν· οὐδείς πω τοῦτό γ' ἐπεφράσατο,
ὧι τις σώφρον' ἔθηκε τὸν ἄφρονα κἀκ κακοῦ ἐσθλόν.
εἰ δ' Ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεός,
ἰᾶσθαι κακότητα καὶ ἀτηρὰς φρένας ἀνδρῶν,
πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον.
εἰ δ' ἦν ποιητόν τε καὶ ἔνθετον ἀνδρὶ νόημα,
οὔποτ' ἂν ἐξ ἀγαθοῦ πατρὸς ἔγεντο κακός,
πειθόμενος μύθοισι σαόφροσιν· **ἀλλὰ διδάσκων**
οὔποτε ποιήσει τὸν κακὸν ἄνδρ' ἀγαθόν.

vv, 429-428

ἀγαθοὶ δὲ καὶ σοφοὶ **κατὰ δαίμον'** ἄνδρες

ἐγένοντ'·

Pindaro, *Olimpica 9*, 28-29

γένοι', οἷος ἐσσὶ μαθών.

Pindaro, *Pitica* 2, 72

QVOD NATVRA NON DAT
SALMANTICA
NON PRAESTAT

In Teognide disperata consapevolezza dell'irreversibile evoluzione storica.

Pindaro quasi immerso in una incoscienza onirica,
pervaso di antichi ideali.

στρ. α
ἄνδρ’ ἀγαθὸν μὲν ἀλαθέως γενέσθαι
χαλεπὸν, χερσίν τε καὶ ποσὶ καὶ νόωι
τετράγωνον, ἄνευ ψόγου τετυγμένον·
θεὸς ἂν μόνος τοῦτ’ ἔχοι γέρας· ἄνδρα δ’ οὐκ
ἔστι μὴ οὐ κακὸν ἔμμεναι,
ὃν ἀμήχανος συμφορὰ καθέληι·
πράξας γὰρ εὖ πᾶς ἀνὴρ ἀγαθός,
κακὸς δ’ εἰ κακῶς, [οὓς δ’ οἱ θεοὶ φιλέωσιν πλεῖστον, εἰσ’ ἄριστοι.]

στρ. β
οὐδ᾽ ἐμοὶ ἐμμελέως τὸ Πιττάκειον
νέμεται, καίτοι σοφοῦ παρὰ φωτὸς εἰ-
ρημένον· χαλεπὸν φάτ’ ἐσθλὸν ἔμμεναι.
[ἐμοὶ ἀρκέει] μητ'[ἐὼν] ἀπάλαμνος εἰ-
δὼς τ’ ὀνησίπολιν δίκαν,
ὑγιὴς ἀνήρ· οὐ[δὲ μή νιν] ἐγὼ
μωμήσομαι· τῶν γὰρ ἠλιθίων
ἀπείρων γενέθλα.
πάντα τοι καλά, τοῖσίν
τ’ αἰσχρὰ μὴ μέμεικται.

στρ. γ
τοὔνεκεν οὔ ποτ’ ἐγὼ τὸ μὴ γενέσθαι
δυνατὸν διζήμενος κενεὰν ἐς ἄ-
πρακτον ἐλπίδα μοῖραν αἰῶνος βαλέω,
πανάμωμον ἄνθρωπον, εὐρυεδέος ὅσοι
καρπὸν αἰνύμεθα χθονός·
ἐπὶ δ’ ὕμμιν εὑρὼν ἀπαγγελέω.
πάντας δ’ ἐπαίνημι καὶ φιλέω,
ἑκὼν ὅστις ἔρδηι
μηδὲν αἰσχρόν· ἀνάγκαι
δ’ οὐδὲ θεοὶ μάχονται.